ὁ παιδαγωγός ‘οὕτως’ εἶπεν ‘ὦ παῖ, δαψιλῶς ἐπιθυμιάσεις, ὅταν τῆς λιβανωτοφόρου κρατήσῃς.’ ὡς οὖν ἐκράτησεν, ἔπεμψεν ἐπιστολὴν πρὸς αὐτὸν· ‘ἀπέσταλκά σοι τάλαντα λιβανωτοῦ καὶ κασίας, ἵνα μηκέτι μικρολογῇ πρὸς τοὺς θεούς, εἰδὼς ὅτι καὶ τῆς ἀρωματοφόρου κρατοῦμεν.’

5. Μέλλων δὲ τὴν ἐπὶ Γρανίκῳ μάχην μάχεσθαι παρεκάλει τοὺς Μακεδόνας ἀφθόνως δειπνεῖν καὶ πάντα F
φέρειν εἰς μέσον, ὡς αὔριον δειπνήσοντας τὰ τῶν πολεμίων.

6. Περίλλου δέ τινος τῶν φίλων αἰτήσαντος προῖκα τοῖς θυγατρίοις ἐκέλευσε πεντήκοντα τάλαντα λαβεῖν· αὐτοῦ δὲ φήσαντος ἱκανὰ εἶναι δέκα, ‘σοί γε’ ἔφη ‘λαβεῖν, ἐμοὶ δ’ οὐχ ἱκανὰ δοῦναι.’

7. Ἀναξάρχῳ δὲ τῷ φιλοσόφῳ δοῦναι τὸν διοικητὴν ἐκέλευσεν ὅσον ἂν αἰτήσῃ· τοῦ δὲ διοικητοῦ φήσαντος ὡς ἑκατὸν αἰτεῖ τάλαντα, ‘καλῶς’ ἔφη ‘ποιεῖ γινώσκων ὅτι | φίλον ἔχει καὶ δυνάμενον τηλικαῦτα δωρεῖσθαι καὶ 180
βουλόμενον.’

8. Ἐν δὲ τῇ Μιλήτῳ πολλοὺς ἀνδριάντας ἀθλητῶν θεασάμενος Ὀλύμπια καὶ Πύθια νενικηκότων ‘καὶ ποῦ